ΠΑΡΡΗΣΙΑΔΗΣ

Τί οὖν; πόσου ἄξιον αὐτὸν χρὴ φάναι; ἐγὼ μὲν γὰρ δύ' ὀβολῶν πρῴην αὐτὸν ἐτιμησάμην.

ΔΙΟΓΕΝΗΣ

Πολὺ λέγεις· ἄβρωτός τε γάρ ἐστιν καὶ εἰδεχθὴς καὶ σκληρὸς καὶ ἄτιμος· ἄφες αὐτὸν ἐπὶ κεφαλὴν κατὰ τῆς πέτρας· σὺ δὲ ἄλλον ἀνάσπασον καθεὶς τὸ ἄγκιστρον. ἐκεῖνο μέντοι ὅρα, ὦ Παρρησιάδη, μὴ καμπτόμενός σοι ὁ κάλαμος ἀποκλασθῇ.

ΠΑΡΡΗΣΙΑΔΗΣ

Θάρρει, ὦ Διόγενες· κοῦφοί εἰσι καὶ τῶν ἀφύων ἐλαφρότεροι.

ΔΙΟΓΕΝΗΣ

Νὴ Δί', ἀφυέστατοί γε· ἀνάσπα δὲ ὅμως.

ΠΑΡΡΗΣΙΑΔΗΣ

49 Ἰδού τις ἄλλος ὑπόπλατυς ὥσπερ ἡμίτομος ἰχθὺς πρόσεισιν, ψῆττά τις, κεχηνὼς εἰς τὸ ἄγκιστρον· κατέπιεν, ἔχεται, ἀνεσπάσθω. τίς ἐστιν;

ΕΛΕΓΧΟΣ

Ὁ Πλατωνικὸς εἶναι λέγων.

ΠΑΡΡΗΣΙΑΔΗΣ

Καὶ σύ, ὦ κατάρατε, ἥκεις ἐπὶ τὸ χρυσίον; τί φῄς, ὦ Πλάτων; τί ποιῶμεν αὐτόν;

ΠΛΑΤΩΝ

50 Ἀπὸ τῆς αὐτῆς πέτρας καὶ οὗτος· ἐπ' ἄλλον καθείσθω.

ΠΑΡΡΗΣΙΑΔΗΣ

Καὶ μὴν ὁρῶ τινα πάγκαλον προσιόντα, ὡς ἂν ἐν βυθῷ δόξειεν,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416025234/92 UNIVERSITÄT LEIPZIG